## 178. THE CRUCIFIXION OF JESUS (Mk-Lk Identical)

| Mark 15:21-41 | Luke 23:26-49 |
|---|---|
| *Καὶ* | *26 Καὶ ὡς ἀπήγαγον αὐτόν,* |
| *ἀγγαρεύουσιν παράγοντά* | *ἐπιλαβόμενοι* |
| *τινα Σίμωνα Κυρηναῖον* | *Σίμωνά τινα Κυρηναῖον* |
| *ἐρχόμενον ἀπ ἀγροῦ,* | *ἐρχόμενον ἀπ ἀγροῦ* |
| *τὸν πατέρα Ἀλεξάνδρου καὶ Ῥούφου,* | |
| | *ἐπέθηκαν αὐτῷ* |
| *ἵνα ἄρῃ τὸν σταυρὸν αὐτοῦ.* | *τὸν σταυρὸν φέρειν* |
| | *ὄπισθεν τοῦ Ἰησοῦ.* |
| | *27 Ἠκολούθει δὲ αὐτῷ πολὺ πλῆθος τοῦ λαοῦ καὶ γυναικῶν αἳ ἐκόπτοντο καὶ ἐθρήνουν αὐτόν. 28 στραφεὶς δὲ πρὸς αὐτὰς ὁ Ἰησοῦς εἶπεν, Θυγατέρες Ἰερουσαλήμ, μὴ κλαίετε ἐπ ἐμέ· πλὴν ἐφ ἑαυτὰς κλαίετε καὶ ἐπὶ τὰ τέκνα ὑμῶν, 29 ὅτι ἰδοὺ ἔρχονται ἡμέραι ἐν αἷς ἐροῦσιν, Μακάριαι αἱ στεῖραι καὶ αἱ κοιλίαι αἳ οὐκ ἐγέννησαν καὶ μαστοὶ οἳ οὐκ ἔθρεψαν. 30 τότε ἄρξονται λέγειν τοῖς ὄρεσιν, Πέσετε ἐφ ἡμᾶς, καὶ τοῖς βουνοῖς, Καλύψατε ἡμᾶς· 31 ὅτι εἰ ἐν τῷ ὑγρῷ ξύλῳ ταῦτα ποιοῦσιν, ἐν τῷ ξηρῷ τί γένηται 32 Ἤγοντο δὲ καὶ ἕτεροι κακοῦργοι δύο σὺν αὐτῷ ἀναιρεθῆναι.* |
| *22 καὶ φέρουσιν αὐτὸν* | *33 καὶ ὅτε ἦλθον* |
| *ἐπὶ τὸν Γολγοθᾶν τόπον,* | *ἐπὶ τὸν τόπον* |
| *ὅ ἐστιν μεθερμηνευόμενον* | |
| *Κρανίου Τόπος.* | *τὸν καλούμενον Κρανίον,* |
| *23 καὶ ἐδίδουν αὐτῷ* | |
| *ἐσμυρνισμένον οἶνον,* | |
| *ὃς δὲ οὐκ ἔλαβεν.* | |
| *24 καὶ σταυροῦσιν αὐτὸν* | *ἐκεῖ ἐσταύρωσαν αὐτὸν* |
| | *καὶ τοὺς κακούργους,* |
| | *ὃν μὲν ἐκ δεξιῶν ὃν* |
| | *δὲ ἐξ ἀριστερῶν.* |
| | *34 ὁ δὲ Ἰησοῦς ἔλεγεν, Πάτερ, ἄφες αὐτοῖς, οὐ γὰρ οἴδασιν τί ποιοῦσιν.* |
| *καὶ διαμερίζονται* | *διαμεριζόμενοι δὲ* |
| *τὰ ἱμάτια αὐτοῦ,* | *τὰ ἱμάτια αὐτοῦ* |
| *βάλλοντες κλῆρον ἐπ αὐτὰ* | *ἔβαλον κλήρους.* |
| *τίς τί ἄρῃ.* | |

| | |
|---|---|
| 25 ἦν δὲ ὥρα τρίτη | |
| καὶ ἐσταύρωσαν αὐτόν. | |
| | 35 καὶ εἱστήκει ὁ λαὸς |
| | θεωρῶν. |
| | ἐξεμυκτήριζον δὲ καὶ οἱ ἄρχοντες λέγοντες, |
| | Ἄλλους ἔσωσεν, |
| | σωσάτω ἑαυτόν, |
| | εἰ οὗτός ἐστιν ὁ Χριστὸς |
| | τοῦ θεοῦ ὁ ἐκλεκτός. |
| | 36 ἐνέπαιξαν δὲ αὐτῷ καὶ οἱ στρατιῶται προσερχόμενοι, ὄξος προσφέροντες αὐτῷ |
| | 37 καὶ λέγοντες, Εἰ σὺ εἶ ὁ βασιλεὺς τῶν Ἰουδαίων, σῶσον σεαυτόν. |
| 26 καὶ ἦν ἡ ἐπιγραφὴ | 38 ἦν δὲ καὶ ἐπιγραφὴ |
| | ἐπ αὐτῷ, |
| τῆς αἰτίας αὐτοῦ | |
| ἐπιγεγραμμένη, | |
| Ὁ βασιλεὺς τῶν Ἰουδαίων. | Ὁ βασιλεὺς τῶν Ἰουδαίων οὗτος. |
| 27 Καὶ σὺν αὐτῷ σταυροῦσιν | |
| δύο λῃστάς, | |
| ἕνα ἐκ δεξιῶν | |
| καὶ ἕνα ἐξ εὐωνύμων αὐτοῦ. | |
| 29 Καὶ οἱ παραπορευόμενοι | |
| ἐβλασφήμουν αὐτὸν | |
| κινοῦντες τὰς κεφαλὰς αὐτῶν | |
| καὶ λέγοντες, Οὐὰ | |
| ὁ καταλύων τὸν ναὸν | |
| καὶ οἰκοδομῶν ἐν τρισὶν ἡμέραις, | |
| 30 σῶσον σεαυτὸν | |
| καταβὰς ἀπὸ τοῦ σταυροῦ. | |
| 31 ὁμοίως καὶ οἱ ἀρχιερεῖς | |
| ἐμπαίζοντες πρὸς ἀλλήλους | |
| μετὰ τῶν γραμματέων | |
| ἔλεγον, | |
| Ἄλλους ἔσωσεν, | |
| ἑαυτὸν οὐ δύναται σῶσαι· | |

32 ὁ Χριστὸς
ὁ βασιλεὺς Ἰσραὴλ
καταβάτω νῦν ἀπὸ τοῦ σταυροῦ,
ἵνα ἴδωμεν καὶ πιστεύσωμεν.

καὶ οἱ συνεσταυρωμένοι
σὺν αὐτῷ
ὠνείδιζον αὐτόν.

39 Εἷς δὲ τῶν κρεμασθέντων
κακούργων
ἐβλασφήμει αὐτὸν λέγων,
Οὐχὶ σὺ εἶ ὁ Χριστός
σῶσον σεαυτὸν καὶ ἡμᾶς. 40
ἀποκριθεὶς δὲ ὁ ἕτερος ἐπιτιμῶν
αὐτῷ ἔφη, Οὐδὲ φοβῇ σὺ τὸν θεόν,
ὅτι ἐν τῷ αὐτῷ κρίματι εἶ 41 καὶ
ἡμεῖς μὲν δικαίως, ἄξια γὰρ ὧν
ἐπράξαμεν ἀπολαμβάνομεν· οὗτος
δὲ οὐδὲν ἄτοπον ἔπραξεν. 42 καὶ
ἔλεγεν, Ἰησοῦ, μνήσθητί μου ὅταν
ἔλθῃς εἰς τὴν βασιλείαν σου. 43
καὶ εἶπεν αὐτῷ, Ἀμήν σοι λέγω,
σήμερον μετ ἐμοῦ ἔσῃ ἐν τῷ
παραδείσῳ.

33 Καὶ γενομένης ὥρας ἕκτης
σκότος ἐγένετο
ἐφ ὅλην τὴν γῆν
ἕως ὥρας ἐνάτης.

44 Καὶ ἦν ἤδη ὡσεὶ ὥρα ἕκτη
καὶ σκότος ἐγένετο
ἐφ ὅλην τὴν γῆν
ἕως ὥρας ἐνάτης
45 τοῦ ἡλίου ἐκλιπόντος,

34 καὶ τῇ ἐνάτῃ ὥρᾳ
ἐβόησεν ὁ Ἰησοῦς φωνῇ μεγάλῃ,
Ελωι ελωι λεμα σαβαχθανι
ὅ ἐστιν μεθερμηνευόμενον
Ὁ θεός μου ὁ θεός μου,
εἰς τί ἐγκατέλιπές με
35 καί τινες τῶν παρεστηκότων
ἀκούσαντες ἔλεγον,
Ἴδε Ἠλίαν φωνεῖ.
36 δραμὼν δέ τις
καὶ γεμίσας σπόγγον
ὄξους
περιθεὶς καλάμῳ
ἐπότιζεν αὐτόν,
λέγων,
Ἄφετε ἴδωμεν

| | |
|---|---|
| εἰ ἔρχεται Ἠλίας | |
| καθελεῖν αὐτόν | |
| | ἐσχίσθη δὲ |
| | τὸ καταπέτασμα τοῦ ναοῦ μέσον. |
| 37 ὁ δὲ Ἰησοῦς | 46 καὶ |
| ἀφεὶς φωνὴν μεγάλην | φωνήσας φωνῇ μεγάλῃ |
| | ὁ Ἰησοῦς εἶπεν, |
| | Πάτερ, εἰς χεῖράς σου παρατίθεμαι τὸ πνεῦμά μου· |
| ἐξέπνευσεν. | τοῦτο δὲ εἰπὼν ἐξέπνευσεν. |
| 38 Καὶ | |
| τὸ καταπέτασμα τοῦ ναοῦ | |
| ἐσχίσθη | |
| εἰς δύο ἀπ ἄνωθεν ἕως κάτω. | |
| 39 Ἰδὼν δὲ ὁ κεντυρίων | 47 Ἰδὼν δὲ ὁ ἑκατοντάρχης |
| ὁ παρεστηκὼς ἐξ ἐναντίας αὐτοῦ | |
| ὅτι οὕτως ἐξέπνευσεν | |
| | τὸ γενόμενον |
| εἶπεν, | ἐδόξαζεν τὸν θεὸν λέγων, |
| Ἀληθῶς οὗτος ὁ ἄνθρωπος | Ὄντως ὁ ἄνθρωπος οὗτος |
| υἱὸς θεοῦ ἦν. | δίκαιος ἦν. |
| | 48 καὶ πάντες οἱ συμπαραγενόμενοι ὄχλοι ἐπὶ τὴν θεωρίαν ταύτην, θεωρήσαντες τὰ γενόμενα, τύπτοντες τὰ στήθη ὑπέστρεφον. |
| 40 Ἦσαν δὲ καὶ γυναῖκες | 49 εἱστήκεισαν δὲ πάντες |
| | οἱ γνωστοὶ αὐτῷ |
| ἀπὸ μακρόθεν θεωροῦσαι, | ἀπὸ μακρόθεν, |
| | καὶ γυναῖκες |
| | αἱ συνακολουθοῦσαι αὐτῷ |
| | ἀπὸ τῆς Γαλιλαίας, ὁρῶσαι ταῦτα. |
| | ὁρῶσαι ταῦτα. |
| ἐν αἷς καὶ Μαρία ἡ Μαγδαληνὴ | |
| καὶ Μαρία ἡ Ἰακώβου τοῦ μικροῦ | |
| καὶ Ἰωσῆτος μήτηρ | |
| καὶ Σαλώμη, | |

*41 αἳ ὅτε ἦν ἐν τῇ Γαλιλαίᾳ*
*ἠκολούθουν αὐτῷ καὶ διηκόνουν*
*αὐτῷ, καὶ ἄλλαι πολλαὶ αἱ*
*συναναβᾶσαι αὐτῷ εἰς*
*Ἱεροσόλυμα.*

86 matches out of 669 words = 13%